These photographs are probably from mss.
in the Morgan Library in New York.

340. Gospels

655. Chrysostom

656. Psalter

Aubrey Diller
26 Nov. 52

παρ' αὐτοῦ σημεῖον ἀπὸ τοῦ οὐρανοῦ· πειράζοντες αὐτόν·
Καὶ ἀναστενάξας τῷ πνεύματι αὐτοῦ, λέγει· τί ἡ γενεὰ αὕτη
σημεῖον ἐπιζητεῖ· ἀμὴν λέγω ὑμῖν, εἰ δοθήσεται τῇ
γενεᾷ ταύτῃ σημεῖον· καὶ ἀφεὶς αὐτούς, ἐμβὰς πάλιν
εἰς τὸ πλοῖον, ἀπῆλθεν εἰς τὸ πέραν· Καὶ ἐπελάθοντο
οἱ μαθηταὶ αὐτοῦ λαβεῖν ἄρτους· καὶ εἰ μὴ ἕνα ἄρτον,
οὐκ εἶχον μεθ' ἑαυτῶν ἐν τῷ πλοίῳ· καὶ διεστέλλετο αὐτοῖς·
κβ λέγων, ὁρᾶτε· βλέπετε ἀπὸ τῆς ζύμης τῶν φαρισαίων
Καὶ τῆς ζύμης ἡρῴδου· Καὶ διελογίζοντο πρὸς ἀλλή
λους· λέγοντες, ὅτι ἄρτους οὐκ ἔχομεν· καὶ γνοὺς
ὁ ἰς̄, λέγει αὐτοῖς· τί διαλογίζεσθε ὅτι ἄρτους οὐκ ἔχετε·
οὔπω νοεῖτε οὐδὲ συνίετε· ἔτι πεπωρωμένην ἔ
χετε τὴν καρδίαν ὑμῶν· ὀφθαλμοὺς ἔχοντες, οὐ βλέ
πετε· καὶ ὦτα ἔχοντες, οὐκ ἀκούετε· καὶ οὐ μνημονεύετε
ὅτε τοὺς πέντε ἄρτους ἔκλασα εἰς τοὺς πεντακισχιλί
ους· πόσους κοφίνους πλήρεις κλασμάτων ἤρατε·
λέγουσιν αὐτῷ. δώδεκα· ὅτε δὲ τοὺς ἑπτὰ εἰς τοὺς
τετρακισχιλίους, πόσων σπυρίδων πληρώματα κλασ -

19 × 13 fol. 309

Parchemin

L'Evangile de l'Empereur Palaiologue fait cadeux aux Pape alexandre V.

Marc 8:11-20

A. L. Owens
Baldwin, Kansas.


÷ ΚΑΙ ΕΙΠΕΝ Ο ΘΣ ΓΕΝΗΘΗΤΩΣΑΝ ΦΩΣΤΗΡΕΣ ΕΝ ΤΩ ΣΤΕΡΕΩΜΑΤΙ ΤΟΥ ΟΥΝΟΥ ΕΙΣ ΦΑΥΣΙΝ ΕΠΙ ΤΗΣ ΓΗΣ ΤΟΥ ΔΙΑΧΩΡΙΖΕΙΝ ΑΝΑ ΜΕΣΟΝ ΤΗΣ ΝΥΚΤΟΣ· ΚΑΙ ΕΣΤΩΣΑΝ ΕΙΣ ΣΗΜΕΙΑ· ΚΑΙ ΕΙΣ ΚΑΙΡΟΥΣ· ΚΑΙ ΕΙΣ ΗΜΕΡΑΣ· ΚΑΙ ΕΙΣ ΕΝΙΑΥΤΟΥΣ:

Βούλομαι τῆς συνήθους ἅψασθαι διδασκαλίας· καὶ ὀκνῶ καὶ ἀναδύομαι· νέφος γὰρ ἀθυμίας ἐπελθὸν συνέχει καὶ συνταράττει μου τὸν λογισμόν· μᾶλλον δὲ οὐκ ἀθυμίας μόνον· ἀλλὰ καὶ θυμοῦ· καὶ οὐκ οἶδα τί πράξω· τοιαύτη ἀπορία κατέχει μου τὴν διάνοιαν· ὅταν γὰρ ἐννοήσω ὅτι μικρὸν πρεύσαντος τοῦ διακόνου πᾶσαν ἡμῶν ἐκκλησίαν τὴν συνεχῆ διδασκαλίαν· τὴν καθημερινὴν παραίνεσιν λήθῃ παραδόντας· ἀφήσαντας μὲν ἐκκλησίαν πομπὴν ἀπάντας δεδραμηκέναι τὴν ἱπποδρομίαν καταλακόντας· ποίᾳ γὰρ προθυμίᾳ δυνησόμεθα πάλιν τὴν πρὸς ὑμᾶς ποιήσασθαι διδασκαλίαν αὐτῶν προτέρων οὕτως ἀθρόων διαρρυέντων· τὸ γὰρ μάλιστα ἐπιτεῖνον μοι τὴν ἀθυμίαν· καὶ σφοδρότερόν μοι τὸν θυμὸν ἐργαζόμενον· τοῦτό ἐστιν· ὅτι μετὰ τῆς παραινέσεως τῆς ἡμετέρας καὶ τὴν αἰδῶ· τῆς ἁγίας παρακλήσεως ἐξεκαῦσαι τῆς ἑαυτῶν τύχης· καὶ οὕτως ἀσιάσου διακολουθῆ λιτυοις ἑαυτοὺς ἐκδεδώκατε· πῶς ἄν τις δυνηθείη κἂν αὐτὸν μεθ' εἰρήνην ἔχοι τυχεῖν· πρᾶος ἔσεσθαι ἐγκαλῶν τὴν τοσαύτην ὑμῶν ὀλιγωρίαν· αἰσχύνομαι πιστεύσατε καὶ ἐρυθριῶ· ὅταν ἴδω μάλιστα ἡμᾶς πονουμένους καὶ ὥσπερ ἀστὸν πόρον καταναλοῦντας· ἀλλ' εἰ μὲν καὶ τ' ἐβάλλουν τε τῶν λεγομένων· κἂν τὸ παρακοῦ

Page 1 Homilies of
St, Jean Chrysostom
Migne Patr. graeca
vol. 53 col. 54

A. L. Owens.
Baldwin, Kansas.

unac. 5 pieces



τῷ Δα(υί)δ · εἰς ἀνάμνησιν · περὶ τοῦ σαββάτου · λζ'

Κύριε μὴ τῷ θυμῷ
σου ἐλέγξῃς με ·
μηδὲ τῇ ὀργῇ σου
παιδεύσῃς με ·
ὅτι τὰ βέλη σου
ἐνεπάγησάν
μοι, καὶ ἐπεστή-
ριξας ἐπ'
ἐμὲ τὴν χεῖ-
ρά σου · οὐκ
ἔστιν ἴασις ἐν
τῇ σαρκί μου, ἀπὸ προ-
σώπου τῆς ὀργῆς σου · οὐκ ἔστιν
εἰρήνη ἐν τοῖς ὀστέοις μου, ἀπὸ
προσώπου τῶν ἁμαρτιῶν μου ·

Ppa 38;1-3
A. L. Owens
Baldwin, Kansas.

+



οῦ κῦ ἡ γῆ καὶ τὸ
πλήρωμα αὐτῆς·
ἡ οἰκουμένη καὶ πάντες
οἱ κατοικοῦντες ἐν αὐτῇ·
αὐτὸς ἐπὶ θαλασσῶν ἐ
θεμελίωσεν αὐτήν, καὶ
ἐπὶ ποταμῶν ἡτοίμα
σεν αὐτήν· τίς ἀνα
βήσεται εἰς τὸ ὄρος
τοῦ κῦ, ἢ τίς στήσεται
ἐν τόπῳ ἁγίῳ αὐτοῦ;
ἀθῷος χερσὶ, καὶ καθα·
ρὸς τῇ καρδίᾳ, ὃς οὐκ ἔλαβεν
ἐπὶ ματαίῳ τὴν ψυχὴν αὐ
τοῦ, καὶ οὐκ ὤμοσεν ἐπὶ δόλῳ



Ν τρόπον ἐ-
πιποθεῖ ἡ ἔ-
λαφος ἐπὶ
τὰς πηγὰς
τῶν ὑδάτων,
οὕτως ἐπι-
ποθεῖ ἡ ψυ-
χή μου πρὸς
σὲ ὁ Θεός· ἐδί-
ψησεν ἡ ψυχή
μου πρὸς τὸν Θεὸν τὸν ἰσχυ-
ρὸν τὸν ζῶντα· πότε ἥ-
ξω καὶ ὀφθήσομαι τῷ προ-
σώπῳ τοῦ Θεοῦ· ἐγενή-
θη τὰ δάκρυά μου ἐμοὶ,,

Psa. 42:1

A. L. Owens
Baldwin, Kansas.

Classics